www.tezaurliturgic.ro

# ΝΟΕΜΒΡΙΟΥ ΙΖ΄
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὴν κιθάραν τῆς γνώσεως, τὸν αὐλόν τῆς συνέσεως, τῆς σοφίας ὄργανον τὸ οὐράνιον, τῆς εὐσεβείας τὸν ἥλιον, τὸν λύχνον τῆς χάριτος, καὶ θαυμάτων τὴν πηγήν, σωτηρίας τὰ νάματα, ἀναβλύζουσαν, εὐφημήσωμεν σήμερον ἐν ὕμνοις, Ὀρθοδόξων αἱ χορεῖαι, τὸν Ἱεράρχην Γρηγόριον.

Φωταυγείᾳ τῆς χάριτος, λαμπρυνθεὶς τὴν διάνοιαν, τὴν Ἑλλήνων ἔλιπες ματαιότητα, καὶ τῷ λουτρῷ τοῦ Βαπτίσματος, παμμάκαρ ἐνδέδυσαι, τὸν Χριστὸν τὸν ἐν Σταυρῷ, ὑψωθέντα καὶ σώσαντα, τὸ ἀνθρώπινον, τῆς ἀρχαίας Γρηγόριε κατάρας· ὃν ἱκέτευε πταισμάτων, ἡμῖν τὴν λύσιν δωρήσασθαι.

Οὐρανόθεν δεξάμενος, τῆς σοφίας τὰς χάριτας, ὡς δοχεῖον ἔμψυχον καθαρότητος, τὴν μωρανθεῖσαν κατῄσχυνας, σοφίαν τοῖς λόγοις σου, καὶ τοῖς θαύμασι λαμπρῶς, ἐξαστράψας ὡς ἥλιος, κατεφώτισας, τοὺς ἐν ζόφῳ εἰδώλων τῆς λατρείας, χαλεπῶς ἐζοφωμένους, ἱερομύστα Γρηγόριε.

Ἀποστόλων τοῖς ἴχνεσιν, ἀκλινῶς ἠκολούθησας, ὡς σοφίας ἔμπλεως καὶ συνέσεως, καὶ τῇ σαγήνῃ τῶν λόγων σου, ἐκ πλάνης ἀνήγαγες, θεομάκαρ τοῦ βυθοῦ, τοὺς ἀνθρώπους Γρηγόριε, καὶ προσήγαγες, ὡς ἀνάθημα τούτους τῷ Κυρίῳ, τῷ θανάτῳ τοῦ θανάτου, τὴν δυναστείαν πατήσαντι.

Δόξα Πατρί. Ἦχος α΄.

Δεῦτε φιλεόρτων τὰ τάγματα, Γρηγόριον τὸν ἐν Ἱεράρχαις πανθαύμαστον, ἀπὸ ψυχῆς εὐφημήσωμεν· τὸν φερωνύμως ἐν τῷ νόμῳ τοῦ Θεοῦ γρηγορήσαντα, καὶ τῆς εὐσεβείας τὴν δύναμιν τρανώσαντα· τὸν σοφὸν ἐν διδαχαῖς, τὸν ἐν ἀγῶσι περίβλεπτον, καὶ ἐν θαύμασι μέγιστον, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἐκτήσατο, θαυματουργὸς ἐπικαλούμενος· τῆς Ἐκκλησίας τὸν μέγα φωστῆρα, καὶ τῆς Ὀρθοδοξίας φαιδρὸν λαμπτῆρα, πρὸς αὐτὸν εὐλαβῶς ἀνακράζοντες· Πρέσβευε Πάτερ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος γ΄. Μεγάλη τῶν Μαρτύρων.

Σοφίας τὰ δωρήματα πλουτήσας ὅσιε, τῆς πλάνης τῶν εἰδώλων, κατῄσχυνας τὴν ἔπαρσιν, καὶ ἐτράνωσας Γρηγόριε τρισμάκαρ, πανσόφοις διδαχαῖς σου, τὴν θείαν δύναμιν, σαφῶς τῆς εὐσεβείας.

www.tezaurliturgic.ro



Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Μεγίστοις προτερήμασιν ἐκλάμψας ὅσιε, πιστῶν τὰς διανοίας, ἐνθέως κατεπύρσευσας, καὶ ἐνέκρωσας τοῦ ψεύδους τὸν δυνάστην, Γρηγόριε τρισμάκαρ, ἀγωνισάμενος, ὑπὲρ τῆς ἀληθείας.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ἀπαύστως καθικέτευε, Χριστὸν τὸν Κύριον, ὡς ἔχων παῤῥησίαν, Γρηγόριε μακάριε, ὅπως λάβωμεν οἱ πόθῳ σε τιμῶντες, ἰσχὺν θείαν ὑψόθεν, τὰ μηχανήματα, πατεῖν τοῦ ἀρχεκάκου.

Δόξα Πατρί. Ἦχος β΄.

Ἐκ τῆς Ἑῴας Ἱεράρχα Γρηγόριε, ὡς ὄρθρος φαεινὸς τῇ οἰκουμένῃ ἐξανατείλας, μυστικῶς καταπυρσεύεις, τὰς ψυχὰς τῶν τιμώντων σε, καὶ τῷ Κυρίῳ βοώντων· Ὁ τὸν θεῖόν σου θεράποντα, θαυματουργὸν ἀναδείξας, καὶ δι᾽ αὐτοῦ καλέσας, πολλοὺς πρὸς σωτηρίαν, παντοδύναμε Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! αὐγασθεὶς τὴν ψυχήν, ἀστραπαῖς τῆς χάριτος, εἰδώλων τὴν βδελυράν, ἀπάτην ἔλιπες· ἐντεῦθεν τὰς τοῦ φωτός, τρίβους συντόνως ἐν κόσμῳ ἐβάδισας, καὶ ἔφθασας εἰς αὐλάς, τὰς αἰωνίους λαμπρῶς ἀγαλλόμενος, ἔνθα νῦν σὺν Ἀρχαγγέλοις, ὕμνον τὸν τρισάγιον, τῇ Ἁγίᾳ Τριάδι, ἀναμέλπεις ὦ Γρηγόριε.

Ὢ τοῦ παραδόξου θαύματος! πυρωθεὶς τὴν ψυχήν, τοῦ Χριστοῦ τῷ ἔρωτι, ἀξίας τὰς κοσμικάς, πάσας ἐμίσησας, καὶ μύρῳ θείῳ χρισθείς, Ἀρχιερεὺς θεοφόρε Γρηγόριε, ὡς Ἄγγελος τῷ Θεῷ, τὰς ἀναιμάκτους θυσίας προσήνεγκας. Ὅθεν νῦν σὺν τοῖς Ἀγγέλοις, ὕμνον τὸν τρισάγιον, τῇ Ἁγίᾳ Τριάδι, ἀναμέλπεις εὐφραινόμενος.

Ὢ τοῦ παραδόξου θαύματος, τὴν καρδίαν τρωθείς, ζήλῳ τῷ τῆς πίστεως, ἐκήρυξας ἱερῶς, τὸ Εὐαγγέλιον, καὶ ἔλυσας τὰς μωράς, κατασκευὰς τῶν βλασφήμων Γρηγόριε, σοφίᾳ ἐν θεϊκῇ, Ὀρθοδοξίας βροντήσας τὰ δόγματα. Ὅθεν μεθ᾽ Ἁγίων πάντων, ὡς συνευφραινόμενος, νῦν θεοῦσαι μεθέξει, ἐν ὑψίστοις ἀξιάγαστε.

Προσόμοια ἕτερα. Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Τί σε νῦν καλέσω Γρηγόριε; πρακτικόν, ὅτι τὰ πάθη, καθυπέταξας τῷ νῷ· θεωρόν, ὅτι ἐδρέψω, τῆς σοφίας τὸν καρπόν· ἐνθέου, ὀπτασίας ἀξιούμενον, καὶ δόγματα, οὐράνια μυούμενον· Ἱερουργὸν ἱερώτατον, θαυματουργὸν ὑπερθαύμαστον. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί προσαγορεύσω σε Ὅσιε; ὁδηγὸν τῶν πλανωμένων, καὶ νοσούντων ἰατρόν· χορηγὸν τῶν πρὸς τὴν χρείαν, τοῖς αἰτοῦσι δαψιλῆ· διώκτην, τῶν δαιμόνων ἰσχυρότατον· ἀλείπτην, τοῦ Μαρτύρων ἀγωνίσματος· προφητικοῖς διαλάμποντα, χαρίσμασιν ἀξιάγαστε. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω Γρηγόριε; καθαιρέτην τῆς ἀθέου, δυσσεβείας καρτερόν· ὁριστὴν τῆς εὐσεβείας, καὶ διδάσκαλον ἐθνῶν· εἰρήνης, βραβευτὴν ἀκαταμάχητον· πολέμων, καταλύτην ἀκαθαίρετον· ἐν ὄρεσι διαιτώμενον, καὶ βλέποντα τὰ ἐν πόλεσιν. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Εἰς βάθος θεωρίας ὑπελθὼν πανσόφως, Ἱερά[illegible] χα Χριστοῦ, τὴν θείαν ἐμυήθης τῆς Τριάδο[illegible] φανέρωσιν· καὶ πνεύματι προσβλέπων ἀκλινῶ[illegible] Χριστὸν τὸν Θεὸν ἡμῶν, τῶν θαυμάτων ἄβυσσο[illegible] πηγάζεις ἡμῖν· τὴν ὑγρὰν ὑδάτων φύσιν, εἰς λιθ[illegible] δη μεταποιήσας, καὶ νεωκόρον πλάνης ἀπαλλάξ[illegible] ζοφερᾶς, τοὺς διώκτας ἔπεισας πιστοῦσθαι τ[illegible] ἀλήθειαν· καὶ στῦλος εὐσεβείας ἀρετῶν ὀφθ[illegible] αὐτοῖς, τῶν θαυμάτων ὑποφήτης ἀνηγορεύθ[illegible] Διὸ δυσωποῦμέν σε, μὴ παύσῃ ὑπὲρ ἡμῶν τ[illegible] Σωτῆρα δυσωπεῖν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶ[illegible]

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς [illegible] ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ [illegible]

www.tezaurliturgic.ro



ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. ι΄ 7, 6 γ΄ 13-15 η΄ 6, 34, 35, 4, 12, 14, 17, 5-9 κϐ΄ 21, 19 ιε΄ 4).

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν, ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Παροιμ. ι΄ 31-32 ια΄ 2, 6, 7, 19, 30 ιγ΄ 9 ιε΄ 2 κϐ΄ 11. Ἐκκλ. η΄ 1.
Σοφ. Σολομ. ς΄ 12-16 ζ΄ 30 η΄ 2-4, 7-8, 13, 18, 21 θ΄ 1-5, 10-11, 14).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης· καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων. Σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρά σοι, καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος

www.tezaurliturgic.ro



αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Δεῦτε σήμερον πιστοί, τὸν Ἱεράρχην τοῦ Χριστοῦ, Γρηγόριον εὐφημήσωμεν. Οὗτος γὰρ ὁ μακάριος, Εὐαγγελίου τῷ φωτί, τὴν ψυχὴν καταυγασθείς, τῶν εἰδώλων τὴν πλάνην κατέλιπε· καὶ δι' ἀρετῶν ἐργασίας, εἰς ὕψος θείας γνώσεως ἀναχθείς, τῆς τῶν Ἑλλήνων μωρανθείσης σοφίας, ἐν σοφίᾳ τὴν ἔπαρσιν κατῄσχυνεν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Θαυματουργὲ Ἱεράρχα, πρέσβευε ἀπαύστως τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Τῷ ἀρότρῳ τῶν λόγων σου, παμμακάριστε Γρηγόριε, τὰς κεχερσωμένας τῶν ἀνθρώπων, ψυχὰς ἐγεώργησας, καὶ κατέσπειρας ἐν αὐταῖς, τὸν λόγον τῆς πίστεως, θεοπρεπεῖ τῇ μιμήσει. Ὅθεν καρπὸν πολύχουν, τῶν σεσωσμένων διὰ σοῦ, τὴν σωτηρίαν τῷ Θεῷ προσενεγκών, τὴν εὐκταίαν αὐτοῦ ἀκήκοας φωνήν· Εὖ δοῦλέ μου γνήσιε, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ ἑκατονταπλασίονα ἀπολαβοῦ, τῶν πόνων σου τὰ ἔπαθλα.

Ἦχος ὁ αὐτός.

Ὅσιε πάτερ Γρηγόριε, Μωσαϊκήν τινα θαυματουργίαν, ἐπὶ τοῦ ὕδατος ἔδειξας· λίμνην γάρ ποτέ, ἀδελφικῆς φιλονικίας πρόξενον, διακαρτερήσας ἐν ἀγρυπνίᾳ εὐχόμενος, θαυμαστῶς αὐτὴν ἀπεχέρσωσας, καὶ ἐποίησας τὴν πρὸ τῆς εὐχῆς πελαγίζουσαν, ξηράν τε καὶ ἄνικμον ἤπειρον. Ὢ τοῦ θαύματος! δι' οὗ ἀδελφοκτόνον ἀποτρέψας συμπλοκήν, τῆς εἰρήνης φυλάττειν τὸν σύνδεσμον, τοὺς παρόντας ἐδίδαξας κραυγάζοντας· Ὁ διὰ τοῦ Ἱεράρχου σου θαύματα μεγάλα ἐργαζόμενος, πρὸς παιδαγωγίαν τοῦ λαοῦ σου, Κύριε δόξα σοι.

Ἦχος ὁ αὐτός.

Τὴν τῶν θαυμάτων ἐνέργειαν θεόθεν δεξάμενος, θαυματουργὸς ἐπαξίως ἐπεκλήθης, Γρηγόριε Ἱεράρχα σεβάσμιε· δι' εὐχῆς γὰρ λίθον ἐκίνησας, καὶ πρὸς ἕτερον τόπον μετήγαγες· λίμνην θαλάσσῃ ἴσα κυμαίνουσαν, τῇ προσευχῇ προσκαρτερήσας χέρσον ἐπέδειξας· ποταμοῦ τὴν ἐπὶ τὰ πρόσσω φορὰν ἐπέσχες, Ἑβραῖον προσποιούμενον ἐνέκρωσας, καὶ λιμὸν τοῖς ἀπίστοις λόγῳ ἐπήγαγες. Ὅθεν πίστει βοῶμέν σοι, οἱ εὐσεβῶς τιμῶντές σε· Πάτερ παμμακάριστε, διάσωσον ἡμᾶς ἀπὸ νόσων παντοίων καὶ κινδύνων, καὶ ἵλεων ἡμῖν τὸν Κύριον ἀπέργασαι, ὡς ἔχων πλουσίαν τὴν συμπάθειαν.

Ἦχος γ΄.

Ἱερατεύσας ἀξίως τῷ Θεῷ, καὶ δι' ἔργων καὶ λόγων, πληθὺν σεσωσμένων αὐτῷ προσενεγκών, τῆς ὑπὲρ νοῦν εὐφροσύνης, ἐν οὐρανοῖς κατηξίωσαι, σὺν τῶν Δικαίων ταῖς τάξεσι, Γρηγόριε ὑπερθαύμαστε, τῶν Νεοκαισαρέων φωστὴρ οὐρανόφωτε. Ὅθεν ἐκτενῶς ἱκέτευε δεόμεθα, τὴν Παναγίαν Τριάδα, ἧς τὸ μυστήριον τρανῶς ἐθεολόγησας, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Ἱερωσύνης τὴν χάριν θεόθεν δεξάμενος, καὶ τὸ θεῖον δέρας ἐξ ὕψους περιβαλόμενος, τοὺς πρὶν τῆς ἀπιστίας υἱούς, τέκνα φωτὸς καὶ Θεοῦ κληρονόμους ἀνέδειξας, σοφίας χάριτος ἐκχυθείσης ἐν χείλεσί σου, παραδόξων θαυμάτων αὐτουργέ, Γρηγόριε παμμακάριστε. Διὸ καὶ νῦν ἐν τῇ μνήμῃ σου, αἴτησαι Χριστὸν τὸν Θεόν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. α΄.

Ὅσιε πάτερ Γρηγόριε μακάριε, διὰ πάσης ἐλθὼν τῆς τῶν Ἑλλήνων παιδεύσεως, καὶ γνοὺς τῇ πείρᾳ ὡς νουνεχής, τῶν παρ' αὐτοῖς δογμάτων, τὸ ἀσθενὲς καὶ ἀσύστατον, μαθητὴς τοῦ Εὐαγγελίου κατεστάθης· ἐντεῦθεν τῆς ἀληθοῦς ἐν Χριστῷ, φιλοσοφίας γενόμενος κάτοχος, ἀποστολικῶς ἐν κόσμῳ διέπρεψας· τῆς εὐσεβείας γὰρ τὸν λόγον ἐκήρυξας, βεβαιούμενον μεγίστοις ἐν θαύμασι, δι'

www.tezaurliturgic.ro



οὗ ἐῤῥύσω τῆς πλάνης τῶν εἰδώλων, τῶν Νεοκαισαρέων τὰ πλήθη, τῆς χάριτος συνεργούσης σοι. Ὅθεν ὡς τὸν δρόμον σου τελέσας καλῶς, καὶ τὴν πίστιν κρατύνας μακάριε, τῆς ἀϊδίου κατηξιώθης εὐφροσύνης, πρεσβεύων ὑπὲρ ἡμῶν ἐκτενῶς, τῶν εὐλαβῶς τελούντων, τὴν παναγίαν μνήμην σου.

Ἦχος ὁ αὐτός.

Ὅσιε πάτερ Γρηγόριε θεομακάριστε, μυσταγωγοὺς τὴν Θεοτόκον κτησάμενος, καὶ Ἰωάννην τὸν παρθένον Μαθητήν, τῆς Τριάδος τὸ μέγα μυστήριον, ὑπερφυῶς ἐδιδάχθης· οὗ καὶ διδάσκαλος σεπτός, θεϊκῇ ἐπινεύσει γενόμενος, τῆς εἰδωλομανίας τὴν πλάνην διήλεγξας, καὶ ἀνθρώπων πλήθη προσήγαγες τῷ Χριστῷ, παρ' οὗ καὶ ἀκήκοας, τὴν μακαρίαν φωνήν· Εὖ δοῦλέ μου γνήσιε· εὖ ἐργάτα τοῦ ἀμπελῶνός μου φιλόπονε· εἴσελθε εἰς τὴν αὐλὴν τὴν ἐμήν, ἔνθα ἐστὶν ἦχος καθαρὸς ἑορταζόντων. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ἅγιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος πλ. β'.

Γρηγόρησις Θεοῦ, ἐδόθη σοι σοφὲ κατὰ Δανιήλ· ὥσπερ γὰρ ἐκείνῳ τὸ ἐνύπνιον, οὕτω τὸ τῆς πίστεως μυστήριον, ἀπεκαλύφθη σοι· διὸ σωθῆναι πρέσβευε, τὰς ψυχὰς ἡμῶν ὅσιε Πάτερ.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, κροτήσωμεν ἑόρτια, καὶ εὐλαβῶς πανηγυρίσωμεν, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ, τοῦ Ἱεράρχου Χριστοῦ. Εὐσεβῶν τὰ τάγματα συντρεχέτωσαν, καὶ τὸν θεοφόρον κροτείτωσαν ἐν ὕμνοις, τὸν ἀφθόνως βλύσαντα εὐσεβείας τὰ νάματα, καθάπερ κρήνη δαψιλὴς καὶ ἀείῤῥοος. Ποιμένες καὶ διδάσκαλοι, τὸν θαυμαστὸν ποιμένα, τῶν λογικῶν προβάτων, συνελθόντες εὐφημήσωμεν· τὸν λαμπρὸν θαυματουργόν, τῶν ὀρφανῶν τὸν πατέρα, τὸν τροφέα τῶν πεινώντων· τόν τε χηρῶν προασπιστήν, τὸν ταχύτατον ἐν νόσοις ἰατρόν, τῶν θλιβομένων τὸ παραμύθιον, τῶν εὐσεβῶν τὸν θεῖον ποδηγέτην, καὶ γρήγορον τῆς οὐρανίου σοφίας νοῦν, ὕμνοις θεοτερπέσιν, ἀνευφημοῦντες νῦν, οὕτως εἴπωμεν· Γρηγόριε θεόφρον, προσάγαγε ἡμᾶς τοὺς ταπεινούς, τῷ Θεῷ σεσωσμένους, τῇ παναλκίμῳ δυνάμει τῆς πρεσβείας σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις θεολογίαις σαφῶς, ἱερωτάταις ἱερῶς σεμνυνόμενος· ὁ στῦλος τῆς Ἐκκλησίας, ἡ τῶν δογμάτων κρηπίς, τὸ τοῦ Παρακλήτου θεῖον ὄργανον· ὁ νοῦς ὁ οὐράνιος, ἡ κιθάρα τοῦ Πνεύματος, ποιμὴν ὁ μέγας, καὶ Χριστοῦ Ἀρχιποίμενος, θρέμμα γνήσιον, καὶ ἀρνίον πραότατον· κρήνη ἀναβλυστάνουσα, δογμάτων τὰ νάματα, καὶ ἰαμάτων τὰ ῥεῖθρα, ἱερομύστα Γρηγόριε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Χαίροις Ἱεραρχῶν καλλονή, τῶν ἀρετῶν τὸ διαυγὲς καταγώγιον· ἡ στάθμη τῆς Ἐκκλησίας, ἱερωσύνης κανών, ποταμὸς ναμάτων θείων ἔμπλεως, ἐξ ὧν καταρδεύεται, ἡ ὑφήλιος ἅπασα, πρὸς εὐκαρπίαν, ψυχικὴν καὶ σωτήριον, καὶ αἱρέσεων, ἀποπλύνεται βόρβορος· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, στόμα τὸν νόμον τὸν θεῖον, ἐμμελετῆσαν Γρηγόριε, Θεοῦ κληρονόμε, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ὄμβροις σῶν ἱερῶν προσευχῶν, λίμνην ἐξήρανας ποτὲ μάχης πρόξενον, καὶ ῥεῖθρον τῇ δενδρωθείσῃ, ῥάβδῳ ἀτάκτως σοφέ, ἐπικλύζον εἴργεις θείᾳ χάριτι· βωμοὺς κατηδάφισας, τῶν δαιμόνων Γρηγόριε· τῆς ἀπιστίας, τὸν χειμῶνα διέλυσας, θερμοτάταις σου, πρὸς Θεὸν παρακλήσεσι· θαύμασιν ἐβεβαίωσας, ψυχὰς καὶ προσήγαγες, τῷ εὐεργέτῃ τῶν ὅλων, παρ' οὗ τὸν ἄξιον εἴληφας, μισθόν· ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης, τὰ θαύματα ἃ εἰργάσω ὑπάρχουσι, δι' ὧν τὴν ἐπωνυμίαν κατάλληλον ἐκτήσω, τερατουργὲ Γρηγόριε πανθαύμαστε· ἑταιρικὸν γὰρ γύναιον, ἐπὶ διαβολῇ ἐκ συνθήματος προσελθόν σοι, δαίμονι διὰ τὴν συκοφαντίαν ληφθέν, διὰ προσευχῆς ἐθεράπευσας·

www.tezaurliturgic.ro



λίθῳ γὰρ βουνῷ παραπλήσιον, εὐχῇ σου σεπτῇ μετεκίνησας, καὶ ἐκ τοῦ εἰδωλείου τῇ σῇ παρουσίᾳ, τὰ δαιμόνια ἐξήλασας, τὸν νεωκόρον παιδεύων πρὸς εὐσέβειαν· λίμνην τε πελαγίζουσαν τῇ ἀγρυπνίᾳ διακαρτερήσας, ἤπειρον ἄνικμον ἀπέδειξας, φιλονικοῦντας ἀδελφοὺς νουθετῶν, καὶ φορὰν ἐπέσχες ποταμοῦ, κατὰ τῆς γῆς τὴν ῥάβδον ἐρείσας, τὸ θαῦμα θαύματι βεβαιῶν, αὐτῆς ὑπερφυῶς δενδρωθείσης. Ἔστιν οὖν καὶ ἄλλα πολλά, ἃ θαυμάζοντες Πάτερ, οἱ εὐσεβεῖς βοῶμέν σοι· Θαυματουργὲ Ἱεράρχα, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. δ'.

Ἐν προσευχαῖς γρηγορῶν, ταῖς τῶν θαυμάτων ἐργασίαις ἐγκαρτερῶν, ἐπωνυμίαν ἐκτήσω τὰ κατορθώματα· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, πάτερ Γρηγόριε, φωτίσαι τὰς ψυχὰς ἡμῶν, μή ποτε ὑπνώσωμεν, ἐν ἁμαρτίαις εἰς θάνατον.

Ἕτερον. Ἦχος γ'. Θείας πίστεως.

Θείων ἔργων σου, τῇ φωταυγείᾳ, διεσκέδασας πολυθεΐας, τὸ βαθύτατον σκότος Γρηγόριε· καὶ διαπρέψας μεγάλως τοῖς θαύμασι, θαυματουργίας ἐπλούτησας ὄνομα. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Εὐφράνθητι λαμπρῶς, ἡ Χριστοῦ Ἐκκλησία· ἰδοὺ γὰρ ἡ λαμπρά, τοῦ σοφοῦ Γρηγορίου, ἐπέστη πανήγυρις, μυστικῶς καταυγάζουσα, ταῖς τῆς χάριτος, πλησιφαέσιν ἀκτῖσι, τὰ πληρώματα, τῶν εὐσεβῶν ὑπὲρ λόγον, ἀστὴρ ὡς οὐράνιος.

Δόξα Πατρί. Ὅμοιον.

Εἰδώλων νουνεχῶς, τὴν ἀπάτην μισήσας, Χριστῷ τῷ τὴν ἡμῶν, καινουργήσαντι φύσιν, θεόφρον Γρηγόριε, ἀκλινῶς ἠκολούθησας, καὶ κατέπαυσας, εἰς τὰς αὐλὰς τῶν Δικαίων, τὸν ἀγῶνά σου, καλῶς τελέσας ὡς πλήρης, ἐνθέου φρονήσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπερτέρα, ἀγκάλαις σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· ὃν δοξάζουσι, τῶν οὐρανῶν αἱ δυνάμεις· ὅθεν πάντες σε, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Κατακρατήσας γενναιότητι γνώμης, τῶν ἡδονῶν ἐκ νεαρᾶς ἡλικίας, τοῦ Παρακλήτου ὄργανον γεγένησαι· καὶ τῇ οὐρανίῳ σου, Ἱεράρχα σοφίᾳ, ᾔσχυνας τὴν βέβηλον, τῶν εἰδώλων θρησκείαν. Ὅθεν ζωῆς τῆς θείας κοινωνός, ἐδείχθης πάτερ ἀξίως Γρηγόριε.

Δόξα Πατρί. Ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Χριστῷ ἠκολούθησας ἀνενδοιάστῳ ψυχῇ, μισήσας ὡς πάνσοφος, τὰς ἐπικήρους τρυφάς, Γρηγόριε ἔνδοξε. Ὅθεν τὰς τῶν θαυμάτων, ἐνεργείας πλουτήσας, ἔσωσας τοὺς ἐν σκότει, τῶν εἰδώλων τῆς πλάνης· διό σε ἡ ἀγήρω, ζωὴ ὑπεδέξατο.

Καὶ νῦν. Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, ὡς τοῦ ἐλέους πηγή, ἀπόπλυνον δέομαι, τὴν ῥυπωθεῖσαν ψυχήν, Ἁγνὴ τοῦ οἰκέτου σου, ἵνα ἐν κατανύξει, καὶ συνέσει καρδίας, Δέσποινα μεγαλύνω, τὴν φρικτήν σου λοχείαν, δι' ἧς τῆς καταδίκης, Ἀδὰμ ἠλευθέρωμαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Φερωνύμως θεόφρον, πάτερ Γρηγόριε, ἐν τοῦ Κυρίου τῷ νόμῳ, τελειοτάτῳ νοΐ, γρηγορήσας ὡς φωστὴρ θεῖος ἀνέτειλας, καὶ φαεσφόροις ἀστραπαῖς, τῶν θαυμάτων σου λαμπρῶς, διέλυσας τὴν σκοτίαν, τῆς τῶν εἰδώλων ἀπάτης· διό σε πάντες μακαρίζομεν.

Δόξα Πατρί. Ὅμοιον.

Ἱεράρχα θεόφρον, πάτερ Γρηγόριε, τῆς οὐρανίου σοφίας, δοχεῖον ὤφθης σεπτόν, καὶ πανσό-

www.tezaurliturgic.ro



φοις διδαχαῖς σου διεσκέδασας, τῶν εἰδώλων τὴν ἀχλύν, τῶν δὲ αἱρέσεων λαμπρῶς, κατῄσχυνας τὴν ἀπάτην, βροντήσας τῆς εὐσεβείας, στόματι θείῳ τὰ διδάγματα.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἄχραντε Κόρη, καὶ ὑπερύμνητε, τοῦ Πατρὸς ἡ τὸν Λόγον, ἀφράστως τέξασα· χαῖρε Δέσποινα Μαρία ἀπειρόγαμε· χαῖρε ἡ πύλη τῆς ζωῆς· χαῖρε τὴν φύσιν τῶν βροτῶν, θεώσασα τῷ σῷ τόκῳ· ἀνύμφευτε χαῖρε νύμφη, ἡ προστασία τῶν τιμώντων σε.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Τὸν γρήγορον ποιμένα Γρηγόριον, τὸν ἐν τῷ νόμῳ τοῦ Θεοῦ, φερωνύμως γρηγορήσαντα, τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ, φύλακα τὸν ἀκοίμητον, καὶ τῆς οὐρανίου γνώσεως, δοχεῖον πολύτιμον, δεῦτε σήμερον πιστοί, ἀπὸ ψυχῆς μακαρίσωμεν. Οὗτος γὰρ ὁ μακάριος, τῶν εἰδώλων μισήσας τὴν ἀσέβειαν, Χριστὸν διὰ τοῦ Βαπτίσματος ἐνεδύσατο· καὶ δι᾽ ἀρετῶν ἐργασίας, θαυματουργίας λαβὼν τὰ χαρίσματα, τῶν εἰδώλων τὰ ξόανα κατηδάφισε, τῶν αἱρέσεων τὸ θράσος κατῄσχυνε, καὶ νόσους ἐξ ἀνθρώπων ἀπήλασεν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Ὁ τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος, εὐεργετῶν μὴ παύσῃ τοὺς πιστῶς, ἐπιτελοῦντας τὴν πάνσεπτον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Τῷ τερατουργῷ Γρηγορίῳ τὸν ἔπαινον ὑφαίνω». Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τῶν σῶν θαυμάτων ἐν ἐμοὶ Γρηγόριε, θείαν ἐνέργειαν, περιφανῶς πάτερ, καὶ τανῦν ἀνάδειξον, ἐκ τοῦ βυθοῦ ῥυόμενος, τῶν πταισμάτων με μάκαρ, καὶ σῇ φωτίζων λαμπρότητι, ὅπως ἐπαξίως ὑμνήσω σε.

Ὡς ἐντρεχὴς καὶ νουνεχὴς καὶ φρόνιμος, τὸ τῆς ψυχῆς εὐγενές, τῶν τῆς σαρκὸς μάκαρ, ἡδονῶν προέκρινας, τὰ τῆς σοφίας δόγματα, φιλοπόνως συλλέγων, δι᾽ ὧν ἐκείνη Γρηγόριε, τρέφεται Θεῷ πλησιάζουσα.

Τὴν σωφροσύνην ἀδελφὴν κτησάμενον, ὡς συνεργὸν τῶν καλῶν, σὲ καθορῶν ὄφις, ὁ δεινὸς Γρηγόριε, σοὶ τοὺς βασκάνους ἤγειρεν· οὓς κατῄσχυνας Πάτερ, μακροθυμίᾳ τὸ γύναιον, πάθει συσχεθὲν ἰασάμενος.

Ἐπὶ τῆς ξένης διατρίβων ὅσιε, πᾶσιν αἰδέσιμος, δι᾽ ἀρετὴν ὤφθης, εὐσεβὴς φιλόθεος, θαυματουργίας χάρισμα, πρὸς Θεοῦ δεδεγμένος, δι᾽ ἧς γνωρίζῃ ὡς ἥλιος, λάμψας ἐν τῷ κόσμῳ Γρηγόριε.

Θεοτοκίον.

Ῥίζης Ἁγνὴ βασιλικῆς ἐβλάστησας, καὶ Βασιλέα Χριστόν, τὸν τοῦ Θεοῦ Λόγον, ὑπὲρ νοῦν καὶ ἔννοιαν, σεσαρκωμένον τέτοκας, ἐξ ἁγνῶν σου αἱμάτων, διττὸν τὴν φύσιν ὑπάρχοντα, καὶ μοναδικὸν τὴν ὑπόστασιν.

Κανὼν δεύτερος τοῦ Ἁγίου, ἄνευ Ἀκροστιχίδος. Ποίημα Ἰωάννου.

Ἦχος ὁ αὐτός. Ὑγρὰν διοδεύσας.

Τὴν ὑψηλοτάτην τῶν ἀρετῶν, καὶ προσφιλεστάτην, τῷ δοτῆρι τῶν ἀγαθῶν, σοφίαν ἐκ πρώτης ἡλικίας, θαυματουργὲ κατησπάσω Γρηγόριε.

Τῷ καθαρωτάτῳ σου τῆς ψυχῆς, ὀφθαλμῷ τῶν θείων, μυστηρίων θαυματουργέ, ἐπόπτης κατέστης ἐν ἐρήμοις, φιλοσοφίας ἀΰλως Γρηγόριε.

Θεοτοκίον.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀνακαθάρας σου τὸν νοῦν, τῆς τῶν παθῶν τριχυμίας, καὶ πανσόφου θεωρίας ἐμπλήσας, ἀνεδείχθης εὐπρεπές, σοφίας ἐνδιαίτημα, καὶ προφητείας χάριν, κατεπλουτίσθης Γρηγόριε.

Τῇ θεοπνεύστῳ συγγραφῇ, προσομιλήσας παμμάκαρ, καὶ ποικίλης πολιτείας ἰδέαν, ἐκλεξά-

www.tezaurliturgic.ro



μενος σοφῶς, ἓν ἀρετῆς εἰκόνισμα, ἐν σεαυτῷ θεόφρον, ἀπηκριβώσω Γρηγόριε.

Ὁ θεοφάντωρ μυηθείς, τῇ θείᾳ μυσταγωγίᾳ, τὸ μυστήριον τῆς θεολογίας, κατεφώτισεν ἡμᾶς, Τριάδα ὁμοούσιον, ὁμοφυῆ τε σέβειν, ἄκτιστον καὶ συναΐδιον.

Ὑπὸ Θεοῦ ὁδηγηθείς, ὡς πόθῳ τοῦτον ζητήσας, τὴν ἁγνὴν καὶ Θεοτόκον Μαρίαν, καὶ τὸν γόνον τῆς Βροντῆς, μυσταγωγοὺς ἐκέκτησο, τὸ τῆς Τριάδος φέγγος, σὲ θεοῤῥήμον διδάσκοντας.

Θεοτοκίον.

Ῥάβδον βλαστήσασαν Χριστόν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν Ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα ἀειμακάριστε.

Κανὼν δεύτερος. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.

Ἀξίως ὁ Φαίδιμος, ὁ θειότατος, Ἱερέα καὶ πρόεδρον, Θεοῦ προχειρίζεται, διεστῶτα μὲν τόπῳ, παρόντα δὲ πνεύματι, Πάτερ παμμακάριστε.

Τῆς ὄντως Γρηγόριε, Θεομήτορος, ὀπτασίαις καὶ νεύμασι, τὴν πίστιν μεμύησαι, τῆς ἀκτίστου Τριάδος, σεπτοῖς ἐκδοθεῖσάν σοι, τοῦ Θεολόγου ῥήμασι.

Δογμάτων ἀλήθειαν, διδαχθεὶς ὁ κλεινός, τῆς φανείσης ἐκ χάριτος, Γρηγόριος ὄψεως, πρὸς τοὺς ἄθλους εὐθύμως, χωρεῖ τὴν ψυχόλεθρον, ἀπάτην ἐκπορθούμενος.

Θεοτοκίον.

Σκηνήν σε θεότευκτον, προδιέγραψε Μωσῆς, τοῖς Σεραφὶμ συγκαλύπτουσαν, Ἁγίων τὰ Ἅγια, προτυπῶν σου Παρθένε, τὸν τόκον τὸν ἄχραντον, Χριστὸν σαρκὶ γραφήσεσθαι.

Κάθισμα. Ἦχος πλ. δ'. Τὸ προσταχθέν.

Ἱεραρχίας εὐσεβοῦς βίον ἐφαίδρυνας, τὸν τοῦ Κυρίου ἀληθῶς λόγον κατέλαμψας, τοῖς ἀνθρώποις Γρηγόριε, τῇ ἀστραπῇ τοῦ Πνεύματος, ἐκχέων τοὺς τῶν δογμάτων ὄμβρους τῇ γῇ, πανσόφως ἐγκατασπείρας ἤθη χρηστά· ὅθεν πίστει λαμβάνοντες, τῆς γνώσεως τοὺς καρπούς, γευσάμενοι ἐπέγνωμεν, θείας δόξης ἀπόλαυσιν.

Δόξα Πατρί. Ἦχος γ'. Θείας πίστεως.

Νέος γέγονας, Μωσῆς τοῖς ἔργοις, πλάκας πίστεως, ἐπὶ τοῦ ὄρους, τῆς μυστικῆς θεοφανείας δεξάμενος, νομοθετούσας λαοῖς τὴν εὐσέβειαν, τοῦ τῆς Τριάδος μυστηρίου Γρηγόριε. Ὅθεν ἅπαντες, τιμῶμεν πιστοὶ τὴν μνήμην σου, αἰτοῦντες διὰ σοῦ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Κανὼν πρῶτος. Ὠδὴ δ'. Σύ μου ἰσχύς.

Γῆν τὴν καλήν, πάτερ θεόφρον ἐζήλωσας, καὶ τοῦ λόγου, σπόρον εἰσδεξάμενος, εἰς ἑκατὸν εὐαγγελικῶς, πολυπλασιάζεις, εἰσέτι καὶ νῦν Γρηγόριε, προσάγων διδαχαῖς σου, τοὺς πιστῶς μελῳδοῦντας· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ὡς ἀστραπή, Πάτερ ἐκλάμψας ὁ βίος σου, τῶν δαιμόνων, πλάνην ἐφυγάδευσε· τῷ γὰρ φωτὶ τῆς σῆς ἀρετῆς, τὸ ἐκείνων σκότος, προσομιλῆσαι οὐκ ἴσχυσε· διὸ ὁ νεωκόρος, ψυχοφθόρου ἀπάτης, κυλισθεὶς ὥσπερ λίθος φωτίζεται.

Γνόφον φωτός, τοῦ θειοτάτου θεάσασθαι, ἠξιώθης, νόμον τε θεόγραφον, ὡς Μωϋσῆς, Πάτερ εἰληφώς, τῆς θεολογίας, τὸ ἀκριβὲς ἐκπεπαίδευσαι· ἐντεῦθεν νομοθέτης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἀνεδείχθης θεόφρον Γρηγόριε.

Ῥητορικήν, ἐρεσχελίαν ἐξέκλινας, καὶ τῷ λόγῳ, Πάτερ τῷ τῆς χάριτος, καταυγασθεὶς ἀποστολικήν, ὄντως ἐξουσίαν, κατὰ δαιμόνων ἐπλούτησας· τὴν σὴν γὰρ δραπετεύει, ἀπαστράπτουσαν αἴγλην, ὁ τοῦ σκότους προστάτης Γρηγόριε.

Θεοτοκίον.

Ἡ κιβωτός, πόῤῥωθεν σὲ προετύπωσε, δεξαμένη, νόμον τὸν θεόγραφον, τὴν ἐν γαστρὶ τὸν ζωαρχικόν, Λόγον συλλαβοῦσαν, ἀνερμηνεύτως Πανάμωμε, τὸν τρέφοντα πλουσίως, τὰς ψυχὰς τῶν βοώντων· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Ταῖς εὐχαῖς σου μακάριε, καὶ θαυματουργὲ δαιμόνων τὰς φάλαγγας, ἐξοικίσας ἐφυγάδευσας, ἱεροῦ ἐν ᾧπερ ἐσεβάζοντο.

Ἐναργῆ τὴν ἀσθένειαν, σὺ τῷ νεωκόρῳ Πάτερ ἐπέδειξας, τῶν δαιμόνων διὰ γράμματος,

www.tezaurliturgic.ro



εἰσοικίσας· ὅθεν τούτους ἤλασας.

Καταλέλοιπεν ἅπαντα, Πάτερ ἐκπλαγεὶς τοῖς ξένοις σου θαύμασι, νεωκόρος ὁ Θεόκλητος, καὶ προσεκολλήθη σοι ἐκ πίστεως.

Θεοτοκίον.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Γεωργίᾳ σῶν λόγων, τὰς κεχερσωμένας καρδίας ὡμάλισας, καὶ τὸν θεῖον σπόρον, ἐν αὐταῖς Ἱεράρχα κατέβαλες, καὶ καρπὸν πολύχουν, τῷ Λυτρωτῇ τὴν σωτηρίαν, τῶν πιστῶν θεοῤῥῆμον προσήγαγες.

Ὁ Θεοῦ παραστάτης, ζήλῳ πυρακτούμενος χρίει σε Φαίδιμος, Ἱερέα πάτερ, τῷ Θεῷ τῷ τὰ σύμπαντα βλέποντι, εὐσεβῶς θαῤῥήσας, καὶ τῇ σεπτῇ σου πολιτείᾳ, πεποιθὼς θεοῤῥῆμον Γρηγόριε.

Ῥοαῖς τῶν σῶν δογμάτων, τὰς εἰδωλικὰς πυρπολήσεις κατέσβεσας, καὶ ταῖς διδαχαῖς σου, τοὺς πιστοὺς ἐβεβαίωσας πάνσοφε, ἀναβὰς εἰς ὕψος, ὡς Σαμουὴλ ταῖς θεωρίαις, καὶ ὡς δένδρον φανεὶς τοῖς διώκουσιν.

Ἱεράρχα θεόφρον, ταῖς σαῖς ἱκεσίαις δεινῶν με λυτρούμενος, τῶν ἐμῶν πταισμάτων, τὸ χειρόγραφον Πάτερ διάῤῥηξον, Ἱερεὺς ὑπάρχων, καὶ ἐκ Θεοῦ τὴν ἐξουσίαν, εἰληφὼς ἀφιέναι τὰ πταίσματα.

Θεοτοκίον.

Ὡραιώθης Παρθένε, τοῖς τῆς παρθενίας σου ἀχράντοις κάλλεσι, καὶ τῆς πρώτης Εὔας, περιέστειλας αἶσχος τὸ δύσμορφον, τὸν Χριστὸν τεκοῦσα, περιβολὴν ἀθανασίας, χαριζόμενον τοῖς σὲ γεραίρουσι.

Κανὼν δεύτερος. Εἱρμὸς ὁ αὐτός.

Ὡς γενναῖος ὁπλίτης, πίστεως στεῤῥότητι περιφραξάμενος, καὶ τὸν βίον λόγῳ, παῤῥησίας κοσμήσας ἀοίδιμε, δυσσεβείας πλήρη, ἑλληνικῆς τὴν πόλιν πᾶσαν, ἣν ποιμαίνειν λαχὼν ἠλευθέρωσας.

Ὡς μικρὸν ὁ Χριστός σοι, Πάτερ παρατίθεται αὐτοῦ τὸ ποίμνιον, ἀλλ' εἰς μυριάδας, τῇ ἀγρύπνῳ δεήσει σου αὔξεται· εἰς γὰρ τόπον χλόης, κατασκηνῶν καὶ ἐφ' ὑδάτων, ἀναπαύσεως τοῦτο οὐκ ἔληξας.

Ἀρετή τε καὶ πίστις, ὅλον οὐρανόφρονα σὲ ἀπειργάσατο, μηδεμίαν σχέσιν, πρὸς τὰ ἔνυλα ἔχειν ἐάσασθαι· ἐν ὑψίστοις ὅθεν, ὡς ἐπὶ γῆς Πάτερ βαδίζων, συνεφραίνει ταῖς θείαις δυνάμεσι.

Θεοτοκίον.

Ἀπὸ πάσης ἀνάγκης, θλίψεως καὶ νόσου καὶ βλάβης με λύτρωσαι, καὶ τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντὸς κινδύνου, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων, καὶ μισούντων με Κόρη πανύμνητε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Τὴν λίμνην θαυματουργῶν, ἀδελφοκτόνον ἐξήρανας, καὶ ποταμοῦ τὰς ὁρμάς, ἀνέστειλας πάνσοφε, τὴν ῥάβδον πηξάμενος, τὴν καὶ δενδρωθεῖσαν, θείῳ νεύματι Γρηγόριε.

Ὁ ζῆλος ὁ τοῦ Θεοῦ, κατέφαγέ σε Γρηγόριε· μὴ καρτερῶν γὰρ ὁρᾶν, Θεὸν ὑβριζόμενον, λαὸν ματαιόφρονα, ταῖς σαῖς ἱκεσίαις, θεοῤῥῆμον ἐξωλόθρευσας.

Νενέκρωται βουληθείς, ἐξουθενεῖν σε ὁ δείλαιος, Ἑβραῖος ὁ δυσσεβής, Θεοῦ σε δοξάζοντος, θεόφρον Γρηγόριε, τῶν αὐτοῦ δογμάτων, πληρωτὴν ἀναδεικνύμενον.

Θεοτοκίον.

Ἐπῆλθε τὸ παντουργόν, ἐπὶ σὲ Πνεῦμα Πανάμωμε, καὶ Λόγος ὁ τοῦ Θεοῦ, ἐν σοὶ κατεσκήνωσε, καὶ σάρξ ἐχρημάτισεν, ἀνεκδιηγήτως, διαμείνας ἀναλλοίωτος.

Κανὼν δεύτερος. Τὴν δέησιν ἐκχεῶ.

Τὸν ἔμψυχον οἱ λαοὶ τοῦ Χριστοῦ σε, ἀρεταῖς ἠγλαϊσμένον ὁρῶντες, θαυματουργὲ οἶκον σὺν προθυμίᾳ, τῷ σῷ Δεσπότῃ ναὸν ἐδομήσαντο, ὃν ἄπτωτον ἐν τοῖς σεισμοῖς, ἡ κρηπὶς τῆς εὐχῆς σου τετήρηκε.

Μεγίστων θαυματουργὲ καὶ φοβερῶν, τεραστίων ἀνεδείχθης ἐργάτης· τὴν γὰρ ὑγρὰν λίμνην εἰς πυροφόρον, ταῖς προσευχαῖς σου ξηράνας ἐχέρσωσας, σὺν ταύτῃ δὲ ἀδελφικάς, εἰς σπονδὰς ἀλλοιώσας τὰς ἔριδας.

Ταῖς ὄχθαις ἐγκαταπήξας τὴν σεπτήν, βακτηρίαν σου τρισόλβιε Πάτερ, τοῦ βλαπτικοῦ πο-

www.tezaurliturgic.ro



ταμοῦ καὶ φθορέως, τὰ πανώλεθρα τούτου ὁρμήματα, συνέπηξας καὶ διαρκῆ, τοῖς πιστοῖς ἐπορίσω τὴν λύτρωσιν.

Θεοτοκίον.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Θαυμάτων πολλῶν, δεξάμενος ἐνέργειαν, σημείοις φρικτοῖς, τοὺς δαίμονας ἐπτόησας, καὶ τὰς νόσους ἤλασας, τῶν ἀνθρώπων πάνσοφε Γρηγόριε· διὸ καλῇ Θαυματουργός, τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος.

Ὁ Οἶκος.

Πόθεν ἀπάρξομαι τοὺς ἐπαίνους ἐξυφαίνειν ὁ τάλας, καθορῶν τὰ πολλὰ καὶ ὑπερθαύμαστα πράγματα; Ἐὰν ἀπὸ τοῦ βίου τοῦ Ὁσίου ἐγχειρήσω, τὸ σύνολον οὐκ ἰσχύω· πάντα γὰρ νοῦν ὑπερβαίνει ὁ ἔνθεος βίος αὐτοῦ. Ἐὰν ἀπὸ τῶν θαυμάτων, καὶ ἐν τούτῳ λοιπὸν αἰσχυνθήσομαι· ὑπὲρ τὴν ψάμμον γὰρ ὑπάρχουσι· διὰ τοῦτο ἀκούει Θαυματουργός, τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος.

Ἕτερον. Ἦχος α΄. Τὰ χρυσότατα τῆς καθαρᾶς.

Ὁ κλεινότατος τῆς Ἐκκλησίας στῦλος θεῖος, καὶ περίδοξον τῶν Ἱερέων μέγα κλέος, θαυματουργίαις κατεπλούτισας τὰ πέρατα, καὶ ἄλλος Μωσῆς τερατουργῶν ἀνεδείχθης, μετάγων λαοὺς τῆς τῶν εἰδώλων πλάνης, Ἱεραρχῶν ὁ θαυματουργικώτατος· ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, ἀδιαλείπτως ἱκέτευε.

Ὁ Οἶκος.

Ἄγαν ἐρρύπωσα, ἔργῳ τε ἅμα καὶ λόγῳ· ἀλλά μοι κάθαρον Χριστέ, καρδίας ὄμμα, ὑμνῆσαι ὥσπερ δεῖ τὸν Ἱεράρχην σου Γρηγόριον, τὸ κλέος τῶν ἱερῶν θαυμάτων, ὧνπερ ἐν βίῳ ἐξήστραψε, καὶ δογμάτων θεοπρεπῶν, ὧνπερ τὴν Ἐκκλησίαν Χριστοῦ, κατηγλαϊσμένος ὑπερφυῶς κατεκόσμησεν· ἀλλὰ καὶ νῦν ὦ θαυματουργέ, μὴ ἐπιλάθῃ τοῦ σοῦ λαοῦ, ἀλλὰ τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, ἀδιαλείπτως ἱκέτευε.

Μηνολόγιον.

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θαυματουργοῦ, Ἐπισκόπου Νεοκαισαρείας.

Στίχοι.

Ὁ Γρηγόριος, θαυματουργῶν καὶ πάλαι,
Θεῷ παραστάς, θαυματουργεῖ τι πλέον.

Ἑβδομάτῃ δεκάτῃ τε μέγας θάνε Θαυματουργός.

Συναξάριον.

Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως ἐξ Ἑλλήνων γεννητόρων· τῇ δὲ τῶν κρειττόνων μερίδι εὐθὺς προσθεὶς ἑαυτόν, τὴν ἀληθῆ κατὰ Χριστὸν πίστιν ἐπέγνω· καὶ προϊούσης τῆς ἡλικίας, τὰ τῆς εὐσεβείας αὐτῷ συνηυξάνετο. Μεγέθει δὲ καὶ πλήθει θαυμάτων, ἃ κατειργάσατο, ἐπώνυμον ἔσχεν ὃ λέγεται. Ἔτι γὰρ τῇ σχολῇ συνήθως φοιτῶν ἐν Ἀλεξανδρείᾳ, καὶ παιδείας μεταλαμβάνων τῆς κατὰ φιλοσοφίαν, ἑταιρικὸν γύναιον ἐκ συνθήματος ἐπὶ διαβολῇ αὐτῷ προσελθόν, τῶν συμφοιτητῶν εἰς τοῦτο αὐτὴν παρακινησάντων, καὶ δαίμονι διὰ τὴν συκοφαντίαν ληφθὲν καὶ εἰς γῆν σπαραττόμενον, ἰάσατο διὰ προσευχῆς. Οὗτός ποτε τὴν Ὑπεραγίαν Θεοτόκον ἅμα Ἰωάννῃ τῷ Θεολόγῳ εἶδε καθ' ὕπαρ, μυοῦντας αὐτῷ τὸ τῆς Τριάδος μυστήριον. Καὶ μετὰ τὸ Ἐπίσκοπον αὐτὸν χειροτονηθῆναι παρὰ Φαιδίμου τοῦ Ἀμασείας Προέδρου, ἐν τῷ ἀπιέναι εἰς τὴν λαχοῦσαν Ἐκκλησίαν καὶ μετὰ τὸ ἀπελθεῖν, ἀκοῆς ἀνώτερα καὶ μείζονα πίστεως θαύματα πεποιηκέναι λέγεται.

Λίθον γὰρ βουνῷ παραπλήσιον διὰ προσευχῆς ἐκίνησε καὶ πρὸς ἕτερον μετήγαγε μέρος. Καὶ ἔν τινι εἰδωλείῳ ὁ Ἅγιος κατὰ πάροδον εἰσελθών, ἐξήλασεν ἐκεῖθεν τὰ δαιμόνια· ὑποχωρήσαντος δέ, εἰσελθεῖν ἐν αὐτῷ πάλιν οὐκέτι ἠδύναντο. Τοῦτο μαθὼν ὁ νεωκόρος, κατὰ τοῦ Ἁγίου ὠργίζετο. Τοῦ δὲ Ἁγίου ἐν χάρτῃ γράψαντος: Γρηγόριος τῷ Σατανᾷ, εἴσελθε· καὶ τοῦτον ἐν τῷ ναῷ θέντος τοῦ νεωκόρου καὶ τῶν δαιμόνων εἰσελθόντων, τῷ τοιούτῳ θαύματι ὁ νεωκόρος καταπλαγείς, ἀντὶ τοῦ λατρευτὴς εἶναι δαιμόνων, Χριστοῦ μαθητὴς εὐθὺς ἀναδείκνυται, τῷ μεγάλῳ προσελθὼν Γρηγορίῳ. Καὶ λίμνην, θαλάσσῃ κυμαίνουσαν ἴσα, μίαν νύκτα διακαρτερήσας τῇ προσευχῇ, ἄνικμον καὶ χέρσον ἀπέδειξε, τῶν δύο ἀδελφῶν ἀντιποιουμένων τῆς λίμνης τὸν κατ' ἀλλήλων συναποξηράνας θυμόν, πολεμικῶς καὶ ἀδιαλλάκτως ἐχόντων. Ἔτι δὲ καὶ τοῦ ποταμοῦ τὴν ἐπὶ τὰ πρόσω φορὰν ἀπέσχε, τῶν προσοίκων αὐτοῦ δεηθέντων, κατὰ τῆς διαβρόχου γῆς καὶ συρφετώδους ἐρείσας τὴν βακτηρίαν καὶ προσθεὶς τῷ θαύματι θαῦμα· τό τε γὰρ ῥεῖθρον ὁρᾶται ἀναχαιτιζόμενον, ὥσπερ δεδοικὸς προσψαῦσαι τῇ ῥάβδῳ, καὶ ἡ ῥάβδος, ἤδη οὖσα ξηρὰ καὶ τῆς φυσικῆς ὑγρότητος ἄμοιρος, εἰς εὐθαλὲς ἐγένετο δένδρον. Καὶ οὐδὲ ὁ χρόνος λύμη τῷ θαύματι γέγονεν, ἀλλὰ καὶ νῦν, ὥς φασι, τοῦ ποταμοῦ τὴν εἰς τὰ πρόσω φεύγοντος πρόοδον καὶ τοῦ δένδρου τοσούτοις ἐξαρκοῦντος ἔτεσιν, ἡ τοῦ Χριστοῦ δύναμις διὰ τοῦ μεγάλου Γρηγορίου κηρύττεται. Καὶ πρὸς τούτοις, ὁ ὑποκριθεὶς Ἑβραῖος τὸν νεκρόν, ἐν ὑπτίῳ καὶ ἐκτεταμένῳ σχήματι, διὰ προσευχῆς αὐτοῦ, αὐτὸ τοῦτο κατ' ἀλήθειαν γέγονεν, ὅπερ ἐσχηματίζετο. Ἐνομίσθη δέ ποτε ἐν τῷ ὄρει, ἑστὼς καὶ προσευχόμενος, δένδρον τοῖς διώκουσι. Καὶ λοιμὸν τοῖς ἀπίστοις ἐπήγαγε καὶ προσελθόντας τῇ πίστει τοῦ θανάτου ἀπήλλαξεν. Ἐν δὲ τῷ μέλλειν πρὸς Κύριον ἐκδημεῖν, εὐχαριστηρίους ἀφῆκε φωνάς, ὅτι τὴν πόλιν αὐτοῦ πολυάνθρωπον οὖσαν καὶ τοσοῦτον τῇ ἀσεβείᾳ καὶ ἀπιστίᾳ πληθοῦσαν, ἐπὶ τῆς ἐναντίας τάξεως κατέλιπεν. Ὅσους γὰρ εὗρε τοὺς παραδεξαμένους τὴν πίστιν, τοσούτους τοὺς παραμεμενηκότας τῇ ἀπιστίᾳ κατέλιπε.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Πατέρων τὸ καύχημα, καὶ Διδασκάλων τὸ σεμνολόγημα, φωστὴρ τῆς Ἐκκλησίας, τῆς εὐ-

www.tezaurliturgic.ro



σεβείας στῦλος ἀκράδαντος, σὺ καθωράθης, κραυγάζων Γρηγόριε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀστράψας τοῖς θαύμασι, τὴν οἰκουμένην ἐφωταγώγησας· διὰ τοῦτο θεόφρον, συναθροισθέντες σὲ μακαρίζομεν, οἱ τῶν σῶν λόγων, τρυφῶντες καὶ ψάλλοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἰάματα πάνσοφε, τοῖς ἀσθενοῦσι πᾶσιν ἐπήγασας· ἐξεχύθη γὰρ χάρις, δαψιλεστάτη σοῦ ἐν τοῖς χείλεσι, θαυματουργίας, δι' ἧς ἀνεκραύγαζες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ θείου, διὰ σοῦ Πάναγνε· σὺ γὰρ πύλη ἐφάνης, δι' ἧς τῷ κόσμῳ Θεὸς ὡμίλησε, καταφωτίζων τοὺς πίστει κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Κανὼν δεύτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐπεκρότουν τὸ ξένον, τῶν θαυμάτων σου Πάτερ, καὶ ὑπερόριον, ταῖς σαῖς διδασκαλίαις, πειθόμενοι καὶ πίστει, τῷ Χριστῷ ἀνακράζοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῇ τοῦ Πνεύματος αἴγλῃ, φωτισθεὶς ὁ θεόφρων, ψυχὴν καὶ ἔννοιαν, τὰ ἄλλοις κεκρυμμένα, ἐγκρίτῳ προοράσει, διεσκόπει καὶ ἔψαλλεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Προβληθεὶς Ἱεράρχης, ὁ τῆς χάριτος πλήρης, ὤφθη Ἀλέξανδρος, ταῖς σαῖς ἐκφαντορίαις, Γρηγόριε παμμάκαρ, οἷς ἐδόθη κραυγάζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Οἱ διὰ σοῦ πλουτήσαντες, τῆς Τριάδος τὴν ἔλλαμψιν, τῆς ὁμοουσίου, καὶ σεπτῆς Γρηγόριε, τὴν σὴν νῦν πανήγυριν, ἐπιτελοῦντες χάριτι, θαυματουργικῇ, καταλαμφθῆναι αἰτοῦμεν, βοῶντες· Τὸν Δεσπότην, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νεοφανὲς ὡς ἔσοπτρον, δεδεγμένος πανόλβιε, τὰς μαρμαρυγάς, τῆς ἀρχικῆς Θεότητος, τὸν κόσμον ἐφώτισας, ἀντανακλάσεις πέμπων φωτός, τοῖς μελῳδικῶς, Ὀρθοδοξίᾳ βοῶσιν· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὸ Θεοῦ σκεπόμενος, εὐσεβείας ὑπόθεσις, τοῖς θεοσεβέσιν, ἐφρουρήθης πάνσοφε, εἰς ὄρος ἱστάμενος, ὡς νομοθέτης ἄλλος Μωσῆς, τῷ Δημιουργῷ καὶ Λυτρωτῇ ἐκδιδάσκων, Γρηγόριε κραυγάζειν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Φωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε, ταῖς τῆς παρθενίας, καλλοναῖς ἀστράπτουσα, καὶ πάντας κατηύγασας, τοὺς Θεοτόκον σε ἀληθῆ, καθομολογοῦντας, ἐκ ψυχῆς καὶ βοῶντας· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Εἱρμὸς ὁ αὐτός.

Χλευαστικῶς ὁ ἄνομος, Ἰουδαῖος ἀοίδιμε, Πάτερ σωφρονίζεται, προσυπαντήσας σοι· νεκρὸν δὲ ἀνείμονα, τὸν συνεμπαίκτην ἔλεγε, καὶ τὰ πρὸς τροφήν, εἰρωνικῶς ἐπεζήτει, τὴν σὴν δὲ διπλοΐδα, περιθεὶς τῷ δειλαίῳ, κυρίως τεθνεῶτα, δεικνύεις εἰς αἰῶνας.

Θαυμαστικῶς ἁπάντων σου, ἀκουόντων τὰ ῥήματα, ἄλλο σοι μειράκιον, ὑπὸ τοῦ δαίμονος, δεινῶς ἐνοχλούμενον, τοῖς συνελθοῦσιν ἔλεγε, διεξοδικῶς, τοῖς ὑπὸ σοῦ λαλημένοις, κεχρῆσθαι παρεστῶτα· ἀλλὰ τοῦτο καθαίρεις, παμμάκαρ εὐφημίζων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἁπανταχοῦ τὸ κήρυγμα, διατρέχον θεώμενος, ταῖς σαῖς διδαχαῖς, ὁ τῶν πιστῶν ἀντίπαλος, θυμῷ καθοπλίζεται, καὶ διωγμὸν τεκταίνεται, κατὰ τῆς σῆς ποίμνης· ἀλλ' ἐβόας σὺν ταύτῃ, παμμάκαρ ἀσιγήτως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἡ κραταιὰ βοήθεια, τῶν πιστῶν Ἀειπάρθενε, ῥῦσαί με τῆς πλάνης, τοῦ δολίου δράκοντος, δεινῶς πολεμοῦντός με, καὶ ἀπολέσαι σπεύδοντος· σὺ γὰρ ἀπλανής, τῶν ἐπὶ σοὶ πεποιθότων, ὑπάρχεις σωτηρία, τῶν βοώντων ἀπαύστως· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἀρίστης πολιτείας λάμψας φωτί, νῦν φωτὶ τῷ μεγάλῳ παρέστηκας, θεουργικαῖς, θαυματο-

www.tezaurliturgic.ro



ποιΐαις ὡς νικητής, κατεστεμμένος ὅσιε, πάτερ Ἱεράρχα θαυματουργέ, Γρηγόριε θεόφρον, φωστὴρ τῆς Ἐκκλησίας, τῶν Ὀρθοδόξων ἐγκαλλώπισμα.

Ἰθύνεσθαι δυσώπει σαῖς προσευχαῖς, τὸ βασίλειον νῦν ἱεράτευμα, τὸ ἐκλεκτόν, καὶ ἡγιασμένον Θαυματουργέ· καὶ τοὺς πιστῶς τὴν μνήμην σου, νῦν ἐπιτελοῦντας ἐπιτυχεῖν, τῆς ἄνω βασιλείας, Γρηγόριε θεόφρον, ἀξιωθῆναι καθικέτευε.

Νικήσας τῶν δαιμόνων τὰς προσβολάς, καὶ σαρκὸς ὑποτάξας τὸ φρόνημα, καὶ Ἱερεύς, ἄκακος καὶ ὅσιος γεγονώς, δικαιοσύνης ἔνδυμα, περιβεβλημένος Θαυματουργέ, παρίστασαι τῷ θρόνῳ, τοῦ πάντων Βασιλέως, νῦν παῤῥησίᾳ παμμακάριστε.

Θεοτοκίον.

Ὡράθης ὢ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθόν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Κανὼν δεύτερος. Εἱρμὸς ὁ αὐτός.

Τὴν ὅλην Ἐκκλησίαν τοῖς τοῦ ἐχθροῦ, διωγμοῖς κλονουμένην θεώμενος, ὁ συμπαθής, καὶ τῶν συμφερόντων προνοητής, σαυτὸν φυγῆς ὑπόδειγμα, τέθηκας τοὺς ἄθλους οὐ δεδιώς· παντὶ δὲ τῷ ποιμνίῳ, μεγίστης σωτηρίας, Θαυματουργὲ λιμὴν γενόμενος.

Ὡς ὅλος σου ὁ βίος Θαυματουργέ, θαυμασίων ἀῤῥήτων μεμέστωται! καὶ γάρ τινα, ἔρημον λοφίαν καταδραμών, σὺν μαθητῇ θεόφρονι, κρύβει τοὺς διώκτας καὶ ἀσεβεῖς, εἰς δένδρον μορφωθέντας, δυάδα τοῦ Δεσπότου, ταῖς προμηθείαις παμμακάριστε.

Τὸ μέγεθος θαυμάσας θαυματουργέ, καὶ τὸ πλῆθος τῶν θείων θαυμάτων σου, τὴν θαυμαστήν, μνήμην σου παμμάκαρ θαυμαστικῶς, καὶ γεγηθὼς Χριστοῦ ὁ λαός, πίστει καὶ ἐλπίδι ἐπιτελεῖ, ταῖς σαῖς πλημμελημάτων, πρεσβείαις λυτρωθῆναι, καραδοκῶν σεπτὲ Γρηγόριε.

Θεοτοκίον.

Ἀπόδυσον Παρθένε τὸ δυσειδές, τῶν δεινῶν μου πταισμάτων ἱμάτιον, καὶ τὴν φαιδράν, ἔνδυσον τῆς δόξης καταστολήν, καὶ σωτηρίας ἔνδυμα, καὶ φωτοδοσίας περιβολήν, τὴν χάριν τὴν δοθεῖσαν, τοῖς σὲ Θεογεννῆτορ, ἀκαταπαύστως μεγαλύνουσιν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὁλολαμπὴς ὡς ἥλιος, νοητῶς ἀνατείλας, ἐκ τῆς Ἑῴας ὅσιε, θεϊκῇ προμηθείᾳ, σῶν ἀρετῶν ταῖς ἀκτῖσι, καὶ θαυμάτων σου φέγγει, φωταγωγεῖς Γρηγόριε, τὴν Χριστοῦ Ἐκκλησίαν, χρεωστικῶς, τὴν λαμπράν σου μνήμην ἐπιτελοῦσαν, καὶ εὐφημοῦσαν ᾄσμασι, τὸν φωσφόρον σου βίον.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων.

Τὸν ἐν ποικίλοις θαύμασιν Ἱεράρχην, ἀναφανέντα δόκιμον ἐν τῷ κόσμῳ, θείαις εὐφημήσωμεν μελῳδίαις, Γρηγόριον φιλέορτοι· ὅπως ταῖς τούτου πρεσβείαις, λάβωμεν λύσιν πταισμάτων.

Θεοτοκίον.

Ὁ τῆς ζωῆς τῆς θείας καὶ μακαρίας, φθονήσας μοι τῆς πάλαι ἐν Παραδείσῳ, ἐχθρὸς ὁ δολιώτατος καὶ πανοῦργος, καὶ τῆς Ἐδὲμ ἐξόριστον, ποιήσας με θανατοῦται, τῇ σῇ γεννήσει Παρθένε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ ἱερὲ Γρηγόριε, τὸν δι' ἡμᾶς ἐν Σταυρῷ, ὑψωθέντα ἠγάπησας, καὶ εἰδώλων ἔλιπες, τὴν δεινὴ ματαιότητα· ἐντεῦθεν ὤφθης θεῖος ἀγῶσί σου, τῆς οὐρανίου σοφίας τέμενος, καὶ ἀπεμώρανας, τὸν τοῦ σκότους ἄρχοντα· ὅθεν πιστῶς, σήμερον γεραίρομεν, τὴν θείαν μνήμην σου.

Πάτερ ἱερὲ Γρηγόριε, καταυγασθεὶς τὴν ψυχήν, ταῖς ἀκτῖσι τῆς χάριτος, φῶς τῷ κόσμῳ πέφηνεν, ὁ θεόληπτος βίος σου, καὶ τῶν εἰδώλων τὸ σκότος ἔλυσας, τῶν θείων λόγων σου τοῖς πυρσεύμασιν. Ὅθεν δεδόξασαι, κατ' ἀξίαν Ὅσιε καὶ τοῦ φωτός, τοῦ ὑπὲρ κατάληψιν, ἐδείχθης μέτοχος.

Πάτερ ἱερὲ Γρηγόριε, τὴν ἐξουσίαν λαμπρῶς, τῶν θαυμάτων δεξάμενος, δαίμονας ἐπτόησας, καὶ ἀνθρώπους ἐδίδαξας, τὸν ἐν Τριάδι λατρεύειν Κύριον, τὸν ἐκ μὴ ὄντος τὴν γῆν ποιήσαντα. Ὅθεν μακάριε, Ἀποστόλων πέφηνας ἐν οὐρανοῖς, εὐκλεὴς συνόμιλος, μεθ' ὧν τιμῶμέν σε.

Πάτερ ἱερὲ Γρηγόριε, Ἀρχιερεὺς γεγονώς, θείᾳ ψήφῳ τοῦ Πνεύματος, τῷ Θεῷ ὡς Ἄγγελος,

www.tezaurliturgic.ro



καθαρῶς ἐλειτούργησας, καὶ τὸν λαόν σου ῥάβδῳ σοφίας σου, πρὸς ἀφθαρσίας νομὴν ἐποίμανας. Ὅθεν ἀπέλαβες, τῆς ζωῆς τὰς χάριτας παρὰ Θεοῦ, καὶ ὑπέστης ἄῤῥητον, μάκαρ τὴν θέωσιν.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τὸν περιβόητον ἐν θαύμασιν Ἱεράρχην, καὶ τὰ ἄψυχα αἰδούμενα, παραδόξως μετεβάλλετο· λίμνη γὰρ ἐχερσοῦτο, ἀδελφοὺς νουθετοῦσα· ῥάβδος δὲ ἐδενδροῦτο, ποταμὸν χαλινοῦσα· λίθος λόγῳ μετετέθη, μεταφέρων τοὺς ἀπίστους, πρὸς τὴν Θεοῦ ἐπίγνωσιν· δι᾽ ἧς τὸ μέγα ἔλεος, παράσχου ὁ Θεὸς ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν, καὶ τῆς εὐσεβείας, θεηγόρον ὑφηγητήν, Νεοκαισαρείας, τὸν γρήγορον ποιμένα, Γρηγόριον ἐν ὕμνοις, ἀνευφημήσωμεν.

*Δίστιχον.*

*Γρηγόριε Κύριλλον ὑμνήσαντά σε*
*Πολυτρόπων λύτρωσαι πειρατηρίων.*